Φερσέφασσα
φόνια, χάριτας ἵν' ἐπὶ δάκρυσι
παρ' ἐμέθ⟨εν⟩ ὑπὸ μέλαθρα νύχια
παιᾶνα
νέκυσιν ὀλομένοις λάβῃ.

ΧΟΡΟΣ

ἀντ. α' κυανοειδὲς ἀμφ' ὕδωρ
ἔτυχον ἕλικά τ' ἀνὰ χλόαν
φοίνικας ἁλίου πέπλους
αὐγαῖσιν ἐν χρυσέαις
†θάλπους' ἀμφὶ δόνακος
ἔρνεσιν†.
ἔνθεν οἰκτρὸν ἀνεβόασεν,
ὅμαδον ἔκλυον, ἄλυρον ἔλεγον,
ὅ τι ποτ' ἔλακεν αἰάγμα-
σι στένουσα, Νύμφα τις
οἷα Ναΐς
ὄρεσι φυγάδα νόμον ἱεῖσα
γοερόν, ὑπὸ δὲ πέτρινα γύαλα
κλαγγαῖσι
Πανὸς ἀναβοᾷ γάμους.

στρ. β' ΕΛ. ἰὼ ἰώ·
θήραμα βαρβάρου πλάτας
Ἑλλανίδες κόραι,
ναύτας Ἀχαιῶν